# ΓΕΝΕΣΙΣ.

2 ἘΝ ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. Ἡ δὲ
γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ σκότος ἐπάνω τῆς
3 ἀβύσσου· καὶ πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. Καὶ
4 εἶπεν ὁ Θεὸς, γενηθήτω φῶς· καὶ ἐγένετο φῶς. Καὶ εἶδεν ὁ
Θεὸς τὸ φῶς, ὅτι καλόν· καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ
5 φωτὸς, καὶ ἀνὰ μέσον τοῦ σκότους. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ
φῶς ἡμέραν, καὶ τὸ σκότος ἐκάλεσε νύκτα. Καὶ ἐγένετο
ἑσπέρα, καὶ ἐγένετο πρωῒ, ἡμέρα μία.

6 Καὶ εἶπεν ὁ Θεὸς, γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος·
καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος· καὶ ἐγένετο
7 οὕτως. Καὶ ἐποίησεν ὁ Θεὸς τὸ στερέωμα· καὶ διεχώρισεν ὁ
Θεὸς ἀνὰ μέσον τοῦ ὕδατος, ὃ ἦν ὑποκάτω τοῦ στερεώματος,
8 καὶ ἀνὰ μέσον τοῦ ὕδατος, τοῦ ἐπάνω τοῦ στερεώματος. Καὶ
ἐκάλεσεν ὁ Θεὸς τὸ στερέωμα οὐρανόν· καὶ εἶδεν ὁ Θεὸς ὅτι
καλόν· καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ, ἡμέρα δευτέρα.

9 Καὶ εἶπεν ὁ Θεὸς, συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ
οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά· καὶ ἐγένετο
οὕτως· καὶ συνήχθη τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς
10 συναγωγὰς αὐτῶν, καὶ ὤφθη ἡ ξηρά. Καὶ ἐκάλεσεν ὁ Θεὸς
τὴν ξηρὰν, γῆν· καὶ τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσε θαλάσ-
11 σας· καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν. Καὶ εἶπεν ὁ Θεὸς, βλαστη-
σάτω ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος καὶ
καθ᾿ ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπὸν, οὗ τὸ
σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς· καὶ ἐγένετο
12 οὕτως. Καὶ ἐξήνεγκεν ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα
κατὰ γένος καὶ καθ᾿ ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν
καρπὸν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς·
13 καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν. Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο
πρωῒ, ἡμέρα τρίτη.

14 Καὶ εἶπεν ὁ Θεὸς, γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι
τοῦ οὐρανοῦ εἰς φαῦσιν ἐπὶ τῆς γῆς, τοῦ διαχωρίζειν ἀνὰ μέσον
τῆς ἡμέρας καὶ ἀνὰ μέσον τῆς νυκτός· καὶ ἔστωσαν εἰς σημεῖα,
15 καὶ εἰς καιροὺς, καὶ εἰς ἡμέρας, καὶ εἰς ἐνιαυτούς. Καὶ ἔστωσαν
εἰς φαῦσιν ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ
16 τῆς γῆς· καὶ ἐγένετο οὕτως. Καὶ ἐποίησεν ὁ Θεὸς τοὺς δύο
φωστῆρας τοὺς μεγάλους· τὸν φωστῆρα τὸν μέγαν εἰς ἀρχὰς

IN the beginning God made the heaven and the earth. [2] But the earth was unsightly and unfurnished, and darkness was over the deep, and the Spirit of God moved over the water. [3] And God said, Let there be light, and there was light. [4] And God saw the light that it was good, and God divided between the light [β] and the darkness. [5] And God called the light Day, and the darkness he called Night, and there was evening and there was morning, the first day.

[6] And God said, Let there be a firmament in the midst of the water, and let it be a division between water and water, and it was so. [7] And God made the firmament, and God divided between the water which was under the firmament and the water which was above the firmament. [8] And God called the firmament Heaven, and God saw that it was good, and there was evening and there was morning, the second day.

[9] And God said, Let the water which is under the heaven be collected into one [γ] place, and let the dry land appear, and it was so. And the water which was under the heaven was collected into [δ] its places, and the dry land appeared. [10] And God called the dry land Earth, and the [ζ] gatherings of the waters he called Seas, and God saw that it was good. [11] And God said, Let the earth bring forth the herb of grass [θ] bearing seed according to its kind and according to its likeness, and the fruit-tree bearing fruit whose seed is in it, according to its kind [λ] on the earth, and it was so. [12] And the earth brought forth the herb of grass bearing seed according to its kind and according to its likeness, and the fruit tree bearing fruit whose seed is in it, according to its kind on the earth, and God saw that it was good. [13] And there was evening and there was morning, the third day.

[14] And God said, Let there be lights in the firmament of the heaven [μ] to give light upon the earth, to divide between day and night, and let them be for signs and for seasons and for days and for years. [15] And let them be for light in the firmament of the heaven, so as to shine upon the earth, and it was so. [16] And God made the two great lights, the greater light for regulating the day and the

β *Gr.* and between the darkness. *Hebraism.* γ *Gr.* meeting. δ *Gr.* their meetings. ζ *Gr.* systems. θ *Gr.* sowing.
λ *Alex.* + εἰς ὁμοιότητα. μ *Gr.* for light or shining.

lesser light for regulating the night, the stars also. 17 And God placed them in the firmament of the heaven, so as to shine upon the earth, 18 and to regulate day and night, and to divide between the light and the darkness. And God saw that it was good. 19 And there was evening and there was morning, the fourth day.

20 And God said, Let the waters bring forth reptiles [β] having life, and winged creatures flying above the earth in the firmament of heaven, and it was so. 21 And God made great [γ] whales, and [δ] every living reptile, which the waters brought forth according to their kinds, and every creature that flies with wings according to its kind, and God saw that they were good. 22 And God blessed them, saying, Increase and multiply and fill the waters in the seas, and let the creatures that fly be multiplied on the earth. 23 And there was evening and there was morning, the fifth day.

24 And God said, Let the earth bring forth the living [ζ] creature according to its kind, quadrupeds and reptiles and wild beasts of the earth according to their kind, and it was so. 25 And God made the wild beasts of the earth according to their kind, and cattle according to their kind, and all the reptiles of the earth according to their kind, and God saw that they were good.

26 And God said, Let us make man according to our image and likeness, and let them have dominion over the fish of the sea, and over the flying creatures of heaven, and over the cattle and all the earth, and over all the reptiles that creep on the earth. 27 And God made man, according to the image of God [θ] he made him, male and female he made them. 28 And God blessed them, saying, Increase and multiply, and fill the earth and subdue it, and have dominion over the fish of the seas and flying creatures of heaven, and all the cattle and all the earth, and all the reptiles that creep on the earth. 29 And God said, Behold I have given to you every seed-bearing herb sowing seed which is upon all the earth, and every tree which has in itself the fruit of seed that is sown, to you it shall be for food. 30 And to all the wild beasts of the earth, and to all the flying creatures of heaven, and to every reptile creeping on the earth, which has in itself the [λ] breath of life, even every green plant for food; and it was so. 31 And God saw all the things that he had made, and, behold, they were very good. And there was evening and there was morning, the sixth day. 1 And the heavens and the earth were finished, and the whole [μ] world of them.

2 [ξ] And God finished on the sixth day his works which he made, and he ceased on the seventh day from all his works which he made. 3 And God blessed the seventh day and sanctified it, because in it he ceased from all his works which God [π] began to do.

4 This *is* the book of the generation of heaven and earth, when [ρ] they were made, in the day in which the Lord God made the heaven and the earth, 5 and every herb of the

τῆς ἡμέρας, καὶ τὸν φωστῆρα τὸν ἐλάσσω εἰς ἀρχὰς τῆς νυκτὸς,
καὶ τοὺς ἀστέρας. Καὶ ἔθετο αὐτοὺς ὁ Θεὸς ἐν τῷ στερεώματι 17
τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς, καὶ ἄρχειν τῆς ἡμέρας 18
καὶ τῆς νυκτὸς, καὶ διαχωρίζειν ἀνὰ μέσον τοῦ φωτὸς, καὶ ἀνὰ
μέσον τοῦ σκότους· καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν. Καὶ ἐγένετο 19
ἑσπέρα, καὶ ἐγένετο πρωῒ, ἡμέρα τετάρτη.

Καὶ εἶπεν ὁ Θεὸς, ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, 20
καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρα-
νοῦ· καὶ ἐγένετο οὕτως. Καὶ ἐποίησεν ὁ Θεὸς τὰ κήτη τὰ 21
μεγάλα, καὶ πᾶσαν ψυχὴν ζώων ἑρπετῶν, ἃ ἐξήγαγε τὰ ὕδατα
κατὰ γένη αὐτῶν, καὶ πᾶν πετεινὸν πτερωτὸν κατὰ γένος· καὶ
εἶδεν ὁ Θεὸς ὅτι καλά. Καὶ εὐλόγησεν αὐτὰ ὁ Θεὸς, λέγων, 22
αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὰ ὕδατα ἐν ταῖς
θαλάσσαις, καὶ τὰ πετεινὰ πληθυνέσθωσαν ἐπὶ τῆς γῆς. Καὶ 23
ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ, ἡμέρα πέμπτη.

Καὶ εἶπεν ὁ Θεὸς, ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος, 24
τετράποδα, καὶ ἑρπετὰ, καὶ θηρία τῆς γῆς κατὰ γένος· καὶ ἐγέ-
νετο οὕτως. Καὶ ἐποίησεν ὁ Θεὸς τὰ θηρία τῆς γῆς κατὰ 25
γένος, καὶ τὰ κτήνη κατὰ γένος αὐτῶν, καὶ πάντα τὰ ἑρπετὰ τῆς
γῆς κατὰ γένος· καὶ εἶδεν ὁ Θεὸς ὅτι καλά.

Καὶ εἶπεν ὁ Θεὸς, ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν 26
καὶ καθ᾽ ὁμοίωσιν· καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης,
καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν κτηνῶν, καὶ πάσης τῆς
γῆς, καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. Καὶ 27
ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον· κατ᾽ εἰκόνα Θεοῦ ἐποίησεν
αὐτόν· ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. Καὶ εὐλόγησεν 28
αὐτοὺς ὁ Θεὸς, λέγων, αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώ-
σατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς· καὶ ἄρχετε τῶν ἰχθύων
τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ πάντων τῶν
κτηνῶν, καὶ πάσης τῆς γῆς, καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόν-
των ἐπὶ τῆς γῆς. Καὶ εἶπεν ὁ Θεὸς, Ἰδοὺ δέδωκα ὑμῖν πάντα 29
χόρτον σπόριμον σπεῖρον σπέρμα, ὅ ἐστιν ἐπάνω πάσης τῆς
γῆς· καὶ πᾶν ξύλον, ὃ ἔχει ἐν ἑαυτῷ καρπὸν σπέρματος
σπορίμου, ὑμῖν ἔσται εἰς βρῶσιν, καὶ πᾶσι τοῖς θηρίοις τῆς 30
γῆς, καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ παντὶ ἑρπετῷ
ἕρποντι ἐπὶ τῆς γῆς, ὃ ἔχει ἐν ἑαυτῷ ψυχὴν ζωῆς, καὶ πάντα
χόρτον χλωρὸν εἰς βρῶσιν· καὶ ἐγένετο οὕτως. Καὶ εἶδεν 31
ὁ Θεὸς τὰ πάντα, ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν· καὶ ἐγένετο
ἑσπέρα, καὶ ἐγένετο πρωῒ, ἡμέρα ἕκτη. Καὶ συνετελέσθησαν 2
ὁ οὐρανὸς καὶ ἡ γῆ, καὶ πᾶς ὁ κόσμος αὐτῶν.

Καὶ συνετέλεσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ, 2
ἃ ἐποίησε· καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων
τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησε. Καὶ εὐλόγησεν ὁ Θεὸς τὴν 3
ἡμέραν τὴν ἑβδόμην, καὶ ἡγίασεν αὐτὴν, ὅτι ἐν αὐτῇ κατέ-
παυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ὁ Θεὸς
ποιῆσαι.

Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς, ὅτε ἐγένετο, ᾗ 4
ἡμέρᾳ ἐποίησε Κύριος ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ 5

β *Lit.* of living souls. γ *Or*, probably any large fish, or marine animals, whether cetaceous or not. δ *Gr.* every soul of living reptiles. ζ *Gr.* soul. θ Mat. 19. 4. λ *Gr.* soul. μ *Or*, order. See John 1. 10. ξ Heb. 4. 4. π *Or*, made in the beginning. See Acts 1. 1. ρ *Or*, it took place.